Ἰστέον δὲ ὡς, καθάπερ ἑνὸς ἑκάστου μία γέννησις μόνον, οὕτω καὶ ἅπαξ τις ἀναγεννᾶται διὰ βαπτίσματος. Ἀλλὰ μὴν καὶ τὸ διὰ τοῦ Ἀδὰμ ἄγος ἅπαξ ἐκοίνωσε τὸν ἄνθρωπον, ὥστε καὶ τὸ βάπτισμα τὸ καθαῖρον f. 176v ἐκείνου δὶς οὐκ ὀφείλει προσ|ενεγχθῆναι· τοῦτο δέ ἐστι καὶ πᾶσι τοῖς καθιερωμένοις κοινόν· οὐ γὰρ πάλιν καθιεροῦνται, ἵνα μὴ ἡ καθιέρωσις ἀδρανὴς δοκοίη. Ἐντεῦθεν καὶ ἡ τῶν Δονατιστῶν καὶ τῶν ἀναβαπτιζόντων αἵρεσις ἀπελαύνεται.

## LX. — Περὶ τῆς χρίσεως.

Τὸ δὲ τέλειον τῆς πνευματικῆς ἰσχύος ἐν τούτῳ ἰδίως συνίσταται, τῷ τὸν ἄνθρωπον τὴν τοῦ Χριστοῦ πίστιν τολμᾶν ἐνώπιον πάντων ὁμολογεῖν, καὶ μὴ ἀφέλκεσθαι τούτου διά τινα αἰσχύνην ἢ φόβον· ἡ γὰρ ἀνδρία τὸν ἄτακτον φόβον ἐλαύνει. Τὸ μυστήριον τοίνυν δι' οὗ τῷ γεννηθέντι ἡ πνευματικὴ ἰσχὺς δίδοται, μαχητὴν τρόπον τινὰ ποιεῖ τοῦτον ὑπὲρ τῆς πίστεως τοῦ Χριστοῦ. Καὶ ἐπεὶ οἱ ὑπό τινα ἄρχοντα τεταγμένοι καὶ μαχόμενοι φέρουσι καὶ τὰ σημεῖα ἐκείνου, διὰ τοῦτο καὶ οἱ τὸ τοῦ χρίσματος μυστήριον δεχόμενοι τῷ σημείῳ τοῦ Χριστοῦ σημειοῦνται, τουτέστι τῷ τοῦ σταυροῦ, ᾧ καὶ ὁ Χριστὸς ἐπολέμησε καὶ ἐνίκησεν. Τοῦτο δὲ τὸ σημεῖον ἐν τῷ μετώπῳ λαμβάνουσιν, δεῖγμα τοῦ δημοσίᾳ μὴ ὑπαισχύνεσθαι τὴν τοῦ Χριστοῦ πίστιν ὁμολογεῖν. Ἡ δὲ σημείωσις αὕτη ἐξ ἐλαίου καὶ βαλσάμου κατασκευάζεται, ὅπερ ὀνομάζεται χρίσμα, καὶ οὐκ ἀλόγως· διὰ μὲν γὰρ τοῦ ἐλαίου δηλοῦται ἡ τοῦ ἁγίου Πνεύματος δύναμις, ᾧ καὶ ὁ Χριστὸς κεχρισμένος, Χριστὸς ὀνομάζεται, ἵν' οὕτως ἀπὸ τοῦ Χριστοῦ χριστιανοὶ ὀνομάζοιντο ὡς ὑπ' αὐτῷ στρατευόμενοι. Ἐν δὲ τῇ τοῦ βαλσάμου εὐωδίᾳ ἡ ἀγαθὴ δείκνυται φήμη, ἣν ἔχειν ἀνάγκη τοὺς ἐν τοῖς κοσμικοῖς στρεφομένους, ὥστε παρρησίᾳ τὴν τοῦ Χριστοῦ πίστιν ὁμολογεῖν, ὡς ἂν ἐν τῷ τοῦ ἀγῶνος πεδίῳ ὑπὲρ τῶν τῆς ἐκκλησίας προβληθέντες δογμάτων. Εἰκότως δὲ καὶ παρὰ τῶν ἀρχιερέων μόνων τὸ μυστήριον τοῦτο δίδοται· οὗτοι γάρ εἰσι τρόπον τινὰ τοῦ χριστιανικοῦ τάγματος ἡγεμόνες· καὶ γὰρ καὶ ἐν τῇ κοσμικῇ στρατείᾳ τοῦ στρατηγοῦ ἐστιν ἀπογράφεσθαί τινας στράτευμα καταλέγοντα, ἵν' οὕτως οἱ τὸ μυστήριον τοῦτο δεχόμενοι ἐπὶ τὴν πνευματικὴν τρόπον τινὰ στρατείαν ἀπογράφεσθαι δοκῶσιν.

## LXI. — Περὶ τῆς εὐχαριστίας.

Ὥσπερ δὲ ἡ σωματικὴ ζωὴ φυσικῆς τροφῆς δεῖται, τοῦτο μὲν διὰ τὴν τῆς ποσότητος αὔξησιν, τοῦτο δὲ διὰ τὸ ὑπερείδειν τοῦ σώματος τὴν φύσιν, ἵνα μὴ διὰ τὰς συνεχεῖς ἀπορροίας διαλυθῇ, καὶ ἡ δύναμις τούτου ἀπόλληται, οὕτω καὶ ἐν τῇ πνευματικῇ ζωῇ ἀναγκαῖον τροφὴν ἔχειν πνευ-

---

4 *προσενεγχθῆναι* sic A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ματικήν, δι' ἧς οἱ | ἀναγεννηθέντες καὶ τηρῶνται καὶ αὔξωσιν ἐν ταῖς f. 177 ἀρεταῖς. Σύμβολα δὲ τῆς πνευματικῆς ταύτης τροφῆς, ὡς καὶ περὶ τοῦ βαπτίσματος εἴρηται, οἷς κοινότερον οἱ ἄνθρωποι πρὸς τὴν σωματικὴν χρῶνται τροφήν· ἄρτος δέ ἐστι ταῦτα καὶ οἶνος, ὑφ' οἷς τὸ μυστήριον παραδίδοται τοῦτο. Ἐπεὶ δὲ τῷ μὴν γεννωμένῳ ὁ γεννῶν συνάπτεται καθ' ὁμοιότητα καὶ δύναμιν ἐπὶ τῶν κτισμάτων, ἡ δὲ τροφὴ τῷ τρεφομένῳ κατ' οὐσίαν ἐξομοιοῦται, ἐν μὲν τῷ βαπτίσματι, ὅπερ ἐστὶ πνευματικὴ γέννησις, ὁ σαρκωθεὶς Λόγος κατὰ μόνην δύναμιν περιέχεται· ἐν δὲ τῷ τῆς εὐχαριστίας αὐτὸς περιέχεται κατ' οὐσίαν, ἤγουν ἐν μὲν τῷ εἴδει τοῦ ἄρτου τὸ σῶμα αὐτοῦ, καὶ τὸ αἷμα ἐν τῷ εἴδει τοῦ οἴνου, ὡς ἂν ἐν τῷ μυστηρίῳ τούτῳ ἡ μνήμη τοῦ δεσποτικοῦ πάθους γίνηται. Καὶ οὕτως πληροῦται τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου ἐν τῷ κατὰ Ἰωάννην· „Ἡ σάρξ μου ἀληθῶς ἐστι βρῶμα, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις“.

## LXII. — Περὶ τῆς κατὰ τοῦ μυστηρίου τῆς εὐχαριστίας αἱρέσεως τῶν ἀπίστων.

Ὥσπερ δὲ ἐν τοῖς περὶ τοῦ μυστηρίου ῥήμασι τότε τινὲς τῶν μαθητῶν ἐταράχθησαν, λέγοντες· „Σκληρός ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν;“ οὕτω καὶ τῇ τῆς ἐκκλησίας διδασκαλίᾳ ἐπανέστησαν αἱρετικοὶ τὴν ἀλήθειαν ταύτην ἀρνούμενοι, συμβολικῶς εἶναι λέγοντες ἐν τῷ μυστηρίῳ τὸ σῶμά τε καὶ αἷμα, καὶ τό, τοῦτό ἐστι τὸ σῶμά μου, οὕτως ἀκούουσιν, ὡς εἰ ἔλεγεν, τοῦτό ἐστι σύμβολον ἢ σχῆμα τοῦ σώματός μου, ὡς ὁ Ἀπόστολος ἐν τῇ πρὸς Κορινθίους πέτραν τὸν Χριστὸν ὀνομάζει, τουτέστι σύμβολον. Ἀφορμὴ δὲ αὐτοῖς, ὁ τοῦ Κυρίου λόγος βουλομένου καταστεῖλαι τῶν μαθητῶν τοὺς ταραχθέντας περὶ τοῦ μυστηρίου, λέγων· „Οἱ λόγοι οὓς λελάληκα ὑμῖν πνεῦμά εἰσι καὶ ζωή“, τουτέστιν οὐ κατὰ τὸ γράμμα, ἀλλὰ κατὰ πνευματικὴν διάνοιαν νοεῖσθαι ὀφείλουσιν. Δυσχέρειαν δέ, δι' ἣν ὁ λόγος σκληρὸς φαίνεται, πρῶτον μὲν λέγουσι ταύτην· ὅτι διχῶς τι ἄρχεται τοῦ εἶναι ὅπου πρότερον οὐκ ἦν, ἢ τοπικῇ κινήσει, ἢ μεταβολῇ ἑτέρου εἰς αὐτό, ὡς ἐπὶ τοῦ πυρὸς φανερόν. Ἀλλὰ τὸ ἀληθὲς τοῦ Χριστοῦ σῶμα οὐκ ἀεί ἐστιν ἐν τῷδε θυσιαστηρίῳ, ἀλλ' ἐκ νέου· οὔτε γοῦν ἄλλου τινὸς μεταβαλλομένου εἰς τὸ τοῦ Χριστοῦ σῶμα γίνεται ἐκεῖ ἐκ νέου· τὸ γὰρ σῶμα τοῦ Χριστοῦ προϋφέστηκεν, ὥσπερ ἐν τῇ παρθενικῇ γαστρὶ συλληφθέν, καὶ οὐδὲν εἰς τὸ προϋπάρχον | δοκεῖ f. 177v μεταβάλλεσθαι· οὔτε διὰ τὴν τοῦ τόπου μεταβολήν· δεήσει γάρ, ὡς ἐπὶ πάντων τῶν τοπικῶς κινουμένων ἔχει, λέγειν ἄρχεσθαι μὲν εἶναι τὸν Χριστὸν ἐν τῷδε τῷ τόπῳ ἐν ᾧ τὸ μυστήριον γίνεται, ἅμα δὲ πεπαῦσθαι

---

**12** Ioh. 6, 56 **18** Ioh. 6, 61 **26** Ioh. 6, 64 **28** Les objections numérotées en marge dans A: *α, β,* etc.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῦ εἶναι ἐν ᾧ τόπῳ πρότερον ἦν. Ἀλλ' οὐδὲ τοπική τις κίνησις εἰς δύο τόπους ἅμα τελευτᾷ· τὸ δὲ μυστήριον τοῦτο ἐν διαφόροις ἅμα τόποις ἱερουργεῖται.

Ἡ δευτέρα δυσχέρεια ἐκ τοῦ τόπου συμβαίνει. Τὰ γὰρ μέρη τινὸς οὐ διῃρημένως ἐν διαφόροις περιέχονται τόποις, τοῦ ὅλου μένοντος ἀκεραίου· ὁ δὲ ἄρτος καὶ ὁ οἶνος ἐν τῷ μυστηρίῳ ἐν διῃρημένοις τόποις εἰσίν· δεήσει τοίνυν ἐν τῷ μυστηρίῳ τὸν Χριστὸν μὴ μένειν ἀκέραιον, ἀλλὰ τὸ σῶμα αὐτοῦ τοῦ αἵματος κεχωρίσθαι.

Ἔτι, ἀδύνατον δοκεῖ μεῖζον σῶμα ἐν ἐλάττονι περικλείεσθαι τόπῳ· τὸν δὲ Χριστὸν ὅλον ἐν τῷ μυστηρίῳ περιέχεσθαι διδάσκει ἡ πίστις.

Ἔτι, ἀδύνατον ἓν σῶμα ἐν πλείοσι τόποις εἶναι ἅμα· ἐν πλείοσι δὲ τόποις ἅμα τὸ μυστήριον ἱερουργεῖται.

Τρίτη δυσχέρεια ἀνακύπτει ἐκ τῶν αἰσθήσει καταλαμβανομένων ἡμῖν ἐπὶ τούτου τοῦ μυστηρίου· αἰσθανόμεθα γὰρ καὶ μετὰ τὴν ἱερουργίαν πάντων τῶν συμβεβηκότων τῷ ἄρτῳ καὶ τῷ οἴνῳ, τουτέστι τοῦ χρώματος, τῆς γεύσεως, τῆς ὀσμῆς, τοῦ σχήματος, τῆς ποσότητος, τοῦ βάρους, περὶ ἃ οὐ δυνάμεθα ἀπατᾶσθαι· ἡ γὰρ αἴσθησις ἀνεξαπάτητος περὶ τὰ ἴδια αἰσθητά. Τὰ δὲ τοιαῦτα συμβεβηκότα ἀδύνατον εἶναι ἐν τῷ τοῦ Χριστοῦ σώματι ὡς ἐν ὑποκειμένῳ· ὁμοίως δὲ οὐδ' ἐν τῷ ἀέρι· φυσικὰ γὰρ ὄντα τὰ πλεῖστα, καὶ ὑποκείμενον ὡρισμένης τινὸς φύσεως ζητοῦσιν, οὐχ οἵα ἡ τοῦ ἀνθρωπίνου σώματος φύσις, ἢ τοῦ ἀέρος. Ἀλλ' οὐδὲ καθ' αὑτὰ δύνανται εἶναι· τὸ γὰρ εἶναι τοῦ συμβεβηκότος ἐν τῷ εἶναι ἐν ἑτέρῳ ἐστίν.

Ἔτι τε τὰ συμβεβηκότα εἴδη ὄντα, ἀδύνατον ἄτομα γίνεσθαι, εἰ μὴ δι' ὑποκειμένου· ὅθεν ἀναιρουμένου τοῦ ὑποκειμένου, εἶεν ἂν εἴδη καθόλου. Λείπεται τοίνυν ἐν ἰδίοις ὑποκειμένοις ὡρισμένοις εἶναι, τουτέστιν ἐν τῇ τοῦ ἄρτου οὐσίᾳ καὶ τῇ τοῦ οἴνου. Ἔστιν ἄρα ἐκεῖ οὐσία ἄρτου καὶ οἴνου, καὶ οὐχ ἡ τοῦ σώματος τοῦ Χριστοῦ, ἐπεὶ καὶ ἀδύνατον δύο σώματα εἶναι ὁμοῦ.

Τετάρτη δυσχέρεια, ἐκ τῶν ἐν τῷ μυστηρίῳ μετὰ τὴν ἱερουργίαν παθῶν καὶ ἐνεργειῶν. Εἰ γὰρ πλεῖον τὸ ὑγρὸν ληφθείη θερμάνοι ἂν τῷ
f. 178 τρόπῳ τοῦ οἴνου, ἢ καὶ μέθην ἐργάσαιτο· καὶ τὸ | ξηρὸν ἰσχυροποιήσειεν ἂν καὶ θρέψειεν· καὶ ἐπὶ πολὺ ἀμελῶς φυλαττόμενα, καὶ σηπόμενα ὁρῶνται, καὶ ὑπὸ μυῶν ἐσθιόμενα· Ἀλλὰ καὶ καυθῆναι δύνανται, καὶ εἰς τέφραν ἀναλυθῆναι, ἃ τῷ σώματι τοῦ Χριστοῦ ἁρμόζειν οὐ δύνανται, ἀπαθεῖ κηρυττομένῳ τῇ πίστει.

Πέμπτη δυσχέρεια ἰδίως ἐκ τῆς τοῦ ἄρτου κλάσεως, ἥτις δὴ καὶ αἰσθητῶς φαίνεται, καὶ ἄνευ ὑποκειμένου εἶναι οὐ δύναται· ἀνόητον δ' ἂν εἴη λέγειν τὸ τοῦ Χριστοῦ σῶμα ὑποκείμενον ἐκείνης εἶναι τῆς κλάσεως. Οὐκ ἄρα τὸ ἀληθὲς φασι τοῦ Χριστοῦ σῶμα ἐκεῖ διὰ ταῦτα, ἀλλὰ μόνη ἡ τοῦ ἄρτου καὶ οἴνου οὐσία.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## LXIII. — Λύσεις τῶν ἀποριῶν τούτων, καὶ πρῶτον πρὸς τὰς ἐκ τῆς μεταβολῆς ἀντιθέσεις.

Ἀλλ' εἰ καὶ ἡ θεία δύναμις ἐν τούτῳ τῷ μυστηρίῳ ὑψηλότερον καὶ ἀπορρητότερον ἐνεργεῖ ἢ καθόσον ὑπ' ἀνθρώπων δυνατὸν ἂν εἴη ζητεῖσθαι, ἵνα μὴ μέντοι ἡ περὶ τοῦτο διδασκαλία τῆς πίστεως ἀδύνατος δοκῇ τοῖς ἀπίστοις, πειρατέον ὅπως ἂν πᾶν ἀδύνατον εἶναι δοκοῦν ἀπελαύνοιτο.

Πρώτης οὖν ἀπαντώσης θεωρίας τίνα τρόπον τὸ ἀληθὲς τοῦ Χριστοῦ σῶμα ἄρχεται ἐν τούτῳ εἶναι τῷ μυστηρίῳ, καὶ τῆς πρώτης δυσχερείας οὔσης περὶ τοῦτο τὸ μέρος, εἰδέναι δεῖ ὡς ἡ μυστηριώδης αὕτη μεταβολὴ παντάπασιν ἄλλως ἐστὶν ἢ αἱ φυσικαὶ πᾶσαι μεταβολαί. Ἐν ἐκείναις μὲν γὰρ μένει τὸ ὑποκείμενον, ἐν ᾧ παραχωροῦσιν ἀλλήλοις τὰ διάφορα εἴδη ἢ τὰ συμβεβηκότα, ἢ τὰ οὐσιώδη· ὅθεν καὶ εἰδικαὶ μεταβολαὶ ὀνομάζονται. Ἐν ταύτῃ δὲ τὸ ὑποκείμενον εἰς τὸ ὑποκείμενον μεταβαίνει, τὰ δὲ συμβεβηκότα μένει· ὅθεν καὶ οὐσιώδης καλεῖται. Πῶς μὲν οὖν ταυτὶ τὰ συμβεβηκότα μένει καὶ διατί, ὕστερον ἐρευνησόμεθα· νῦν δέ, περὶ τοῦ πῶς τὸ ὑποκείμενον εἰς τὸ ὑποκείμενον μεταβάλλειν, ὃ ποιεῖν ἡ φύσις οὐ δύναται. Πᾶσα μὲν γὰρ φυσικὴ ἐνέργεια τὴν ὕλην προϋποτίθησι, δι' ἧς ἐκ τῆς οὐσίας τὸ ἄτομον ποιεῖ· ὅθεν ἡ φύσις οὐ δύναται ποιεῖν ταύτην τὴν οὐσίαν, ἐκείνην γίνεσθαι, οἷον τοῦτον τὸν δάκτυλον, ἐκεῖνον τὸν δάκτυλον. Ἀλλ' ἡ ὕλη ὑπόκειται τῇ θείᾳ δυνάμει, δι' ἧς εἰς τὸ εἶναι παράγεται· ὅθεν ὑπ' αὐτῆς γίνεσθαι δυνατὸν τὸ τὴν ἄτομον ταύτην οὐσίαν εἰς ἐκείνην μεταβάλλεσθαι, τὴν προϋφεστῶσαν. Ὥσπερ γὰρ τῇ τοῦ φυσικῶς ποιοῦντος δυνάμει, οὗτινος ἡ ἐνέργεια ἐπὶ τὴν κατ' εἶδος μεταβολὴν μόνην ἑαυτὴν ἐκτείνει, καὶ τῆς τοῦ ὑποκειμένου ὑπάρξεως ὑποκειμένης, τοδὶ τὸ ὅλον εἰς τοδὶ τὸ ὅλον | f. 178v μεταβάλλεται κατὰ τὴν τοῦ εἴδους καὶ τῆς μορφῆς μεταβολήν, ὡς οὗτος ὁ ἀὴρ εἰς τοῦτο τὸ γεννηθὲν πῦρ, οὕτω καὶ τῇ θείᾳ δυνάμει, ἥτις τὴν ὕλην οὐ προϋποτίθησιν ἀλλὰ καὶ παράγει, καὶ αὐτὴ ἡ ὕλη μεταβάλλεται εἰς ἐκείνην, καὶ ἀκολούθως τουτὶ τὸ ἄτομον εἰς ἐκεῖνο· ἡ γὰρ ὕλη ἐστὶν ἀρχὴ τοῦ ἄτομον εἶναι, ὥσπερ ἡ μορφὴ τοῦ εἴδους ἀρχή. Ἐνταῦθα δὲ οὐκ ἔστιν ἕτερον ὑποκείμενον κοινόν, μετὰ τὴν μεταβολὴν ὑπομένον, τῆς μεταβολῆς κατὰ τὸ πρῶτον ὑποκείμενον γινομένης, ὅπερ ἐστὶν ἀρχὴ τοῦ ἄτομον εἶναι· ἀνάγκη μέντοι τοῦτο μένειν, ἵν' ἀληθὲς εἴη τὸ λεγόμενον· „Τοῦτό ἐστι τὸ σῶμά μου", ἃ δὴ ῥήματα τῆς μεταβολῆς ταύτης καὶ σημαντικά εἰσι καὶ ποιητικά. Καὶ ἐπεὶ ἡ τοῦ ἄρτου οὐσία οὐ μένει, οὔτ' ἄλλη τις ὕλη, ὡς ἐρρέθη, ἀνάγκη λέγειν, ὅτι μένει τὸ παρὰ τὴν οὐσίαν τοῦ ἄρτου· τοιοῦτον δέ ἐστι τὸ τῷ ἄρτῳ συμβεβηκός. Οὕτω τοίνυν τὰ συμβεβηκότα τῷ ἄρτῳ καὶ μετὰ τὴν εἰρημένην μεταβολὴν μένειν ὑποθε-

---

9 *τῷ* devant *εἶναι* d'abord écrit, puis effacé A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τέον, καὶ ὑποκειμένου χωρίς, οἷον πρῶτον μὲν ὑφεστάναι τὴν διαστάτην ποσότητα, ἥτις ἐγγύτερον ἥνωται τῇ οὐσίᾳ· ἐν δὲ τῇ ποσότητι τὰς ποιότητας ἱδρύσθαι ὡς ἐν ὑποκειμένῳ, ἐπεὶ καὶ τῆς οὐσίας οὔσης, εἰσὶν ἐν αὐτῇ διὰ μέσης τῆς ποσότητος, ταῖς δὲ ποιότησιν ἕπεσθαι τὰς ἐνεργείας καὶ τὰς σχέσεις. Ἐπεὶ δὲ αὕτη ἡ μεταβολὴ ἐναντίως ἔχει ταῖς φυσικαῖς· μένει γὰρ ἐν αὐτῇ τὸ συμβεβηκός, μεταβάλλει δὲ ἡ οὐσία, ταύτην τὴν μεταβολὴν οὐ δεῖ κίνησιν ἰδίως λέγειν ὡς ἐν τοῖς φυσικοῖς, ὥστε καὶ ζητεῖν ὑποκείμενον, ἀλλ' ἀθρόα τίς ἐστι διαδοχή, ὥσπερ καὶ ἡ δημιουργία.

Αὕτη μὲν οὖν μία αἰτία, δι' ἣν τὰ συμβεβηκότα τῷ ἄρτῳ μένειν ἀνάγκη, ἵν' ᾖ τι μένον ἐν τῇ μεταβολῇ ταύτῃ. Ἔστι δὲ ἀναγκαῖον καὶ διὰ ταύτην. Ἐν γὰρ τῇ μεταβολῇ τοῦ ἄρτου εἰς τὸ σῶμα, εἰ μεταβάλλοιεν καὶ τὰ συμβεβηκότα τῷ ἄρτῳ, οὐκ ἂν εἵπετο τῇ τοιαύτῃ μεταβολῇ τὸ σῶμα τοῦ Χριστοῦ κατὰ τὴν αὐτοῦ οὐσίαν ἐκεῖ εἶναι, ὅπου ὁ ἄρτος πρότερον ἦν· οὐδεμία γὰρ ἂν ἐλείπετο σχέσις τῷ σώματι πρὸς τὸν τόπον ἐκεῖνον, ἀλλὰ τῆς διαστάτης ποσότητος τοῦ ἄρτου μενούσης, δι' ἧς ὁ ἄρτος τῷ τόπῳ συνεκεκλήρωτο, καὶ τῆς οὐσίας τοῦ ἄρτου εἰς τὸ σῶμα τοῦ Χριστοῦ μεταβαλλομένης, γίνεται τὸ σῶμα ἐν τῇ διαστάτῃ τοῦ ἄρτου ποσότητι, καὶ ἀκολούθως καὶ τὸν τοῦ ἄρτου τόπον τινὰ τρόπον μεταλαμβάνει, μεσιτευουσῶν τῶν τοῦ ἄρτου διαστάσεων.

f. 179 Δυνατὸν μέντοι καὶ ἄλλας αἰτίας ἀποδοθῆναι, | καὶ κατὰ τὸν λόγον τῆς πίστεως, ἥτις τῶν ἀοράτων ἐστί, καὶ κατὰ τὸν ταύτῃ ὀφειλόμενον μισθόν, ὃ τοσοῦτόν ἐστι μείζων περὶ τὸ μυστήριον τοῦτο, ὅσῳ καὶ ἀορατώτερον τελεῖται ὑπὸ τοῖς συμβεβηκόσι κρυπτομένου τοῦ ἀληθινοῦ σώματος, καὶ διὰ τὴν χρησιμωτέραν καὶ εὐλαβεστέραν χρῆσιν· ἦν γὰρ ἂν φρίκης μεστὸν τοῖς μετέχουσιν, καὶ ἐξετρέποντο ἄν, εἰ τὸ τοῦ Χριστοῦ σῶμα ἐν τῷ ἰδίῳ εἴδει μετελαμβάνετο. Ὅθεν ἐν εἴδει ἄρτου καὶ οἴνου, οἷς οἱ ἄνθρωποι κοινότερον χρῶνται, πρὸς τροφὴν τὸ σῶμα προτίθεται τοῦ Χριστοῦ, καὶ τὸ αἷμα πρὸς πόσιν.

## LXIV. — Πρὸς τὰς ἐκ τοῦ τόπου ἀντιθέσεις.

Τούτων περὶ τὸν τῆς μεταβολῆς τρόπον θεωρηθέντων, πρὸς τὸ τὰ λοιπὰ λύειν ὁδὸς ἡμῖν γέγονεν ἁμηγέπη. Εἴρηται γάρ, ὡς ὁ τόπος οὗτος τῷ τοῦ Χριστοῦ σώματι ἀποδίδοται διὰ τὰς τοῦ ἄρτου διαστάσεις μενούσας μετὰ τὴν μετουσίωσιν. Δεῖ δὲ εἰδέναι, ὡς ἐν τούτῳ τῷ μυστηρίῳ ἔστι μέν τι ἐκ τῆς δυνάμεως τῆς μεταβολῆς, ἔστι δέ τι καὶ ἐκ τῆς φυσικῆς ἑνώσεως· ἐκ μὲν τοῦ πρώτου ἐκεῖνο εἰς ὅπερ ἐξ εὐθείας ἡ μεταβολὴ τείνει, ὥσπερ ἐν τῷ τοῦ ἄρτου εἴδει τὸ σῶμα τοῦ Χριστοῦ, εἰς ὅπερ ἡ οὐσία τοῦ ἄρτου μεταβάλλει, ὃ δῆλον, ἐν τῷ τοῦτό ἐστι τὸ σῶμά μου· ὁμοίως δὲ καὶ ἐν τῷ εἴδει τοῦ οἴνου, τὸ αἷμα· ὅθεν λέγεται· τοῦτό ἐστι τὸ αἷμά μου· ἐκ δὲ τῆς φυσικῆς ἑνώσεως ἐκεῖ εἰσι καὶ πάντα τὰ ἄλλα,

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

πρὸς ἅπερ οὐκ ἀφορᾷ ἡ μεταβολή, ἀλλ' ὅμως φύσει εἰσὶ συνημμένα ἐκείνῳ, ἐφ' ὃ τέτακται ἡ μεταβολή. Φανερὸν γὰρ ὡς ἡ τοῦ ἄρτου μεταβολὴ οὐκ ἔχει ὅρον, ἐφ' ὃν τείνει, ἢ τὴν θεότητα, ἢ τὴν ψυχὴν τοῦ Κυρίου, ἀλλ' ἐν τῷ τοῦ ἄρτου εἴδει ὅμως ἡ ψυχή ἐστι καὶ ἡ θεότης τοῦ Χριστοῦ διὰ τὴν αὐτῶν πρὸς τὸ σῶμα αὐτοῦ ἕνωσιν. Εἰ δὲ ἐν τῇ τριημέρᾳ τοῦ Χριστοῦ νεκρώσει τὸ μυστήριον τοῦτο ἱερουργεῖτο, οὐκ ἂν ἦν ἐν τῷ εἴδει τοῦ ἄρτου ἡ τοῦ Χριστοῦ ψυχή, ἐπεὶ τότε οὐκ ἦν τῷ σώματι αὐτοῦ ἡνωμένη· ὁμοίως δὲ οὐδὲ ἐν τῷ εἴδει τοῦ ἄρτου ἦν ἂν τὸ αἷμα, οὔτε ἐν τῷ εἴδει τοῦ οἴνου τὸ σῶμα διὰ τὸ κατὰ τὸν καιρὸν τοῦ θανάτου χωρὶς εἶναι ἀλλήλων. Νῦν δὲ ἐπεὶ τὸ τοῦ Χριστοῦ σῶμα ἄνευ αἵματος οὐκ ἔστι τῇ ἑαυτοῦ φύσει, ἐν ἑκατέρῳ εἴδει καὶ τὸ σῶμα περιέχεται καὶ τὸ αἷμα, ἀλλ' ἐν μὲν τῷ εἴδει τοῦ ἄρτου διὰ τὴν τῆς μεταβολῆς δύναμιν τὸ σῶμα περιέχεται μόνον, διὰ δὲ τὴν φυσικὴν ἕνωσιν, καὶ τὸ αἷμα· ἐν δὲ τῷ εἴδει τοῦ οἴνου, τὸ ἀνάπαλιν.

Δήλη δὲ διὰ τῶν αὐτῶν ἡ λύσις ἡ πρὸς τὴν ἀντίθεσιν, τὴν περὶ τῆς f. 179v
ἀνισότητος τοῦ σώματος τοῦ Χριστοῦ πρὸς τὸν τόπον τοῦ ἄρτου. Ἡ μὲν γὰρ οὐσία τοῦ ἄρτου ἄντικρυς εἰς τὴν οὐσίαν τοῦ σώματος μεταβάλλεται· αἱ δὲ διαστάσεις τοῦ σώματός εἰσιν ἐν τῷ μυστηρίῳ διὰ τὴν φυσικὴν κοινωνίαν, ἀλλ' οὐκ ἀπὸ τῆς δυνάμεως τῆς μεταβολῆς, ἐπεὶ μένουσιν αἱ διαστάσεις τοῦ ἄρτου. Οὕτω τοίνυν τὸ ἅγιον σῶμα οὐκ ἔστιν ἐν τούτῳ τῷ τόπῳ, τῶν ἰδίων διαστάσεων μεσιτευουσῶν, ὥστ' ἀναγκαῖον εἶναι ταύταις ἐξισοῦσθαι τὸν τόπον, ἀλλὰ τῶν ἐναπομεινουσῶν, αἷς ἐξισοῦται ὁ τόπος. Ὅθεν καὶ τὸ ὑπεράγιον σῶμα κατὰ μὲν τὰς ἰδίας διαστάσεις ἐν ἑνὶ τόπῳ μόνον ἐστίν, διὰ μέσων δὲ τοῦ ἄρτου τῶν διαστάσεων εἰς αὐτὸ μεταβάλλοντος, ἐν τοσούτοις τόποις ἐστὶν ἐν ὅσοις ἡ τοιαύτη ἱερουργεῖται μεταβολή, οὐ κατὰ τὰ μέρη διῃρημένως, ἀλλ' ἀκέραιον ἐν ἑκάστῳ· ἕκαστος γὰρ ἁγιασθεὶς ἄρτος εἰς ἀκέραιον σῶμα τοῦ Χριστοῦ μεταβάλλει.

## LXV. — Λύσεις πρὸς τὰς ἐκ τῶν συμβεβηκότων ἀντιθέσεις.

Τῆς δὲ διὰ τὸν τόπον ἀπορίας λυθείσης, πρὸς τὴν ἐκ τῶν μενόντων συμβεβηκότων ἰτέον. Τὰ μὲν οὖν συμβεβηκότα καὶ τῇ αἰσθήσει δῆλον ὡς μένουσιν· οὐκ ἔχεται δὲ αὐτῶν τὸ σῶμα ἢ τὸ αἷμα τὸ θεῖον· τοῦτο γὰρ ἄνευ τῆς ἀλλοιώσεως ἐκείνου οὐκ ἂν ἠδύνατο εἶναι, οὔτε τοιούτων συμβεβηκότων ἐστὶ δεκτικόν· ὁμοίως δὲ καὶ ἡ τοῦ ἀέρος οὐσία. Λείπεται τοίνυν εἶναι ἄνευ ὑποκειμένου, πλήν, ὡς εἴρηται, ὥστε δηλονότι μόνην τὴν διαστάτην ποσότητα ἄνευ ὑποκειμένου ὑφίστασθαι, καὶ αὐτὴν τοῖς ἄλλοις συμβεβηκόσιν ὑποκείμενον γίνεσθαι. Τοῦτο δὲ οὐκ ἀδύνατον τῇ θείᾳ δυνάμει, ἢ ἀνάρμοστον· αὕτη γὰρ τὰ ἀποτελέσματα τῶν δευτέρων αἰτίων καὶ χωρὶς αὐτῶν παράγει· ἄνευ γὰρ σπέρματος ἔπλασεν ἄνθρωπον, καὶ πυρετὸν ἐθεράπευσε χωρὶς τῆς φυσικῆς ἐνεργείας, ἄπειρος οὖσα· καὶ

Ε.Υ.Δ της Κ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τοῖς δευτέροις αἰτίοις αἰτία τῆς ἐν αὐτοῖς ἐνεργητικῆς δυνάμεως· καὶ οὐ μόνον παράγει, ἀλλὰ καὶ συντηρεῖ ἐν τῷ εἶναι, χωρὶς τῶν δευτέρων αἰτίων, τὰ ἐκείνων ἀποτελέσματα, ὡς ἐνταῦθα συντηρεῖ τὸ συμβεβηκὸς ἄνευ τῆς φύσει συντηρούσης αὐτὸ οὐσίας, ὃ δὴ μάλιστα περὶ τῶν διαστάτων ποσοτήτων ἐστὶ δυνατόν, ἃς καὶ οἱ Πλατωνικοὶ καθ' ἑαυτὰς ὑφεστάναι ὑπετίθεντο διὰ τὸ χωρίζεσθαι κατ' ἐπίνοιαν. Πλεῖον δὲ ὁ Θεὸς δύναται ἐνεργεῖν ἢ καταλαμβάνειν ὁ νοῦς. Ἔχει δὲ ἴδιον ἡ διαστάτη ποσότης, f. 180 παρὰ τὰ ἄλλα | συμβεβηκότα, τὸ αὐτὴν καθ' αὑτὴν ἄτομον εἶναι· τούτου δὲ αἴτιον, ὅτι ἡ θέσις, τάξις οὖσα τῶν μερῶν ἐν τῷ ὅλῳ, ἐν τῷ ταύτης ὁρισμῷ περιέχεται· ποσότης γάρ ἐστι τὸ ἔχειν θέσιν· ὅπου δὲ διαφορὰ μερῶν τοῦ αὐτοῦ εἴδους νοεῖται, ἀνάγκη νοεῖσθαι καὶ ἄτομον· τὰ γὰρ τοῦ ἑνὸς εἴδους κατὰ τὸ ἄτομον μόνον πληθύνονται, καὶ διὰ τοῦτο, ἀδύνατον πολλὰς νοεῖσθαι λευκότητας, εἰ μὴ καθόσον ἐν διαφόροις ὑποκειμένοις εἰσίν. Νοεῖσθαι δὲ πολλαὶ γραμμαὶ δύνανται, καὶ εἰ καθ' αὑτὰς θεωροῦνται· ἡ γὰρ διάφορος θέσις, ἥτις καθ' ἑαυτὴν ἔνεστι τῇ γραμμῇ, πρὸς τὸ τῶν γραμμῶν πλῆθος ἀρκεῖ· καὶ ἐπεὶ μόνη ἡ διαστάτη ποσότης ἐν τῷ ἑαυτῆς ἔχει λόγῳ τὸ ὅθεν τὸ πλῆθος τῶν ἐν τῷ αὐτῷ εἴδει ἀτόμων συμβαίνειν δύναται, εἰκότως ἡ πρώτη ῥίζα τοῦ τοιούτου πληθυσμοῦ ἐκ τῆς διαστάσεως εἶναι δοκεῖ, ἐπεὶ καὶ ἐν τῷ τῆς οὐσίας γένει κατὰ τὴν διαίρεσιν τῆς ὕλης ὁ πληθυσμὸς γίνεται, ὅπερ οὐδὲ νοεῖν δυνατόν, εἰ μὴ καθόσον ἡ ὕλη ὑπὸ ταῖς διαστάσεσι θεωρεῖται· ἀναιρεθείσης γὰρ τῆς ποσότητος, ἀδιαίρετός ἐστι πᾶσα οὐσία, ὡς ἐν τῷ πρώτῳ τῶν Φυσικῶν λέγεται. Φανερὸν δέ, ὅτι ἐν τοῖς ἄλλοις γένεσι τῶν συμβεβηκότων πολλαπλασιάζονται τὰ ἄτομα τοῦ αὐτοῦ εἴδους ἀπὸ τοῦ ὑποκειμένου. Λείπεται τοίνυν ἐν τούτῳ τῷ μυστηρίῳ, ἐπεὶ ὑπεθέμεθα καθ' ἑαυτὰς ὑφεστηκέναι τὰς διαστάσεις, ἐν αὐταῖς δὲ τὰ ἄλλα συμβεβηκότα ὡς ἐν ὑποκειμένῳ ἱδρύσθαι, οὐ δεῖν λέγειν ἡμᾶς μὴ ἄτομα εἶναι τὰ τοιαῦτα συμβεβηκότα· ἐναπέμεινε γὰρ αὐταῖς εἶναι διαστάσεσιν ἡ τῆς ἀτομότητος ῥίζα.

## LXVI. — Περὶ τῶν πρὸς τὰς ἐνεργείας καὶ τὰ πάθη ἀντιθέσεων.

Τούτοις ἑπομένως περὶ τῆς τετάρτης ἀπορίας θεωρητέον ἂν εἴη· ἀλλὰ περὶ τῶν ἐνεργειῶν, αἵ εἰσι τὸ τὴν αἴσθησιν μεταβάλλειν, ἢ τὸν ἀέρα ἀλλοιοῦν, ἢ εἴ τι ἕτερόν ἐστι τῆς ὀσμῆς καὶ τοῦ χρώματος, οὐ πάνυ θαυμαστόν. Εἴρηται γάρ, ὡς ἐναπομένουσι τῷ μυστηρίῳ τὰ τοῦ ἄρτου καὶ οἴνου συμβεβηκότα, ἐν οἷς εἰσι καὶ αἰσθηταὶ ποιότητες, ἀρχαὶ οὖσαι τῶν τοιούτων ἐνεργειῶν. Ἀλλ' οὐδὲ εἰ ἐθερμάνθη, ἢ ἐψύχθη, ἢ μετέβαλε

---

7 *διαστάτη*: **Scholarios accentue** *διαστατός, διαστατή*, **au lieu de** *διάστατος, διαστάτη*

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν χυμόν, ἢ τι τοιοῦτον, τὸ μυστήριον πολλὴν ἀπορίαν ἔχει. Ἐπεὶ γὰρ εἴρηταί τινα τῶν συμβεβηκότων | ἐν ταῖς διαστάσεσιν ἱδρύσθαι, καὶ τούτων f. 180v ἔχεσθαι ὡς ὑποκειμένων, κατὰ τὸν αὐτὸν τρόπον καὶ ἡ περὶ τὸ τοιοῦτον ὑποκείμενον τῶν συμβεβηκότων ἐκείνων ἀλλοίωσις δύναται θεωρεῖσθαι ὥσπερ καὶ εἰ οὐσία αὐτόθι ἦν.

Μεγίστη δέ ἐστιν ἀπορία περὶ τὴν ἐν τῷ μυστηρίῳ τούτῳ δοκοῦσαν συμβαίνειν γένεσιν καὶ φθοράν· ἐμπίπλασθαι γὰρ δύνανται καὶ μεθύσκεσθαι τῇ ὑπερβολῇ τοῦ μυστηρίου, ἃ δὴ συμβαίνειν οὐκ ἂν ἠδύναντο, μὴ σαρκὸς καὶ αἵματος ἐξ αὐτοῦ γεννωμένων· καὶ γὰρ εἰς τὴν οὐσίαν τοῦ τρεφομένου ἡ τροφὴ μεταβάλλεται. Ἄπειρον δὲ οὐδὲν ἧττον καὶ τὸ διὰ σήψεως ἢ καύσεως εἰς ἄλλην οὐσίαν φαίνεσθαι μεταβάλλειν, τέφραν δηλονότι, ἢ χοῦν· οὔτε γὰρ ἐκ συμβεβηκότων δοκεῖ δυνατὸν οὐσίαν γίνεσθαι, οὔθ' ὅσιον τὴν ἀπαθῆ οὐσίαν ἐκείνου τοῦ σώματος πιστεύειν εἰς ἄλλην δύνασθαι μεταβάλλειν.

Πρὸς τοῦτο, τινές, ὅτι εἰς οὐσίαν παραδόξως μεταβάλλει καὶ τὰ συμβεβηκότα, εἶπον· ἀλλ' ἕωλον τοῦτο· οὐ γὰρ θαύματι ἐοικὸς ἂν εἴη τὸ σήπεσθαι τὸ μυστήριον, ἢ καύσει διαλύεσθαι· ἔπειτα, καὶ ταῦτα κατὰ τὴν τῆς φύσεως τάξιν συμβαίνειν τῷ μυστηρίῳ δοκοῦσιν, ἥτις οὐκ εἴωθεν ἐν τοῖς διὰ θαύματος γινομένοις συμβαίνειν.

Ἄλλοι εἶπον, ὃ καὶ διατεθρύλληται καὶ ἐν πολλοῖς κρατεῖ, ὅτι τὸ εἰς αἷμα ἢ σάρκα μεταβληθῆναι διὰ τροφῆς τὸ μυστήριον, ἢ εἰς ἄλλο τι διὰ καύσεως ἢ σήψεως, οὐ μεταβολῇ τῶν συμβεβηκότων εἰς οὐσίαν γίνεται, ἢ τῆς οὐσίας τοῦ σώματος τοῦ Χριστοῦ, ἀλλὰ θαύματι θείῳ ἡ πρότερον οὐσία τοῦ ἄρτου ἐπάνεισιν, καὶ ἐκ ταύτης γεννῶνται τὰ τῷ μυστηρίῳ δοκοῦντα συμβαίνειν. Ἀλλὰ καὶ τοῦτ' ἀδρανές· τὸ γὰρ εἰς ἕτερον μεταβεβλημένον, ἀδύνατον ἐπανελθεῖν, εἰ μὴ καὶ τὸ ὕστερον γενόμενον εἰς τὸ πρότερον ἐκεῖνο πάλιν μεταβληθείη. Ἀλλ' ἀδύνατον τὴν οὐσίαν τοῦ σώματος τοῦ Κυρίου εἰς ἄρτον μεταβάλλεσθαι, μᾶλλον δὲ εὔηθες.

Βέλτιον τοίνυν λέγειν, ὅτι ἐν αὐτῇ τῇ ἱερουργίᾳ ὥσπερ ἡ τοῦ ἄρτου οὐσία παραδόξως εἰς τὸ σῶμα τοῦ Χριστοῦ μεταβάλλεται, οὕτω παραδόξως δίδοται καὶ τοῖς συμβεβηκόσι τὸ ὑφεστάναι, ὅπερ ἴδιόν ἐστι τῆς οὐσίας· ἑπομένως δὲ δίδοται καὶ τὸ πάντα δύνασθαι ποιεῖν καὶ πάσχειν, ἅπερ ἂν εἰ παρῆν ἡ οὐσία. Ὅθεν ἄνευ τινὸς νέου θαύματος καὶ μέθην ἐμποιεῖν, καὶ τρέφειν, καὶ ἀποτεφροῦσθαι καὶ σήπεσθαι δύναται τοῦτον τὸν τρόπον καὶ τὴν τάξιν ὥσπερ ἂν εἰ καὶ ἄρτου | καὶ οἴνου οὐσία παρῆν. f. 181

## LXVII. — Περὶ τῶν πρὸς τὴν κλάσιν ἀντιθέσεων.

Περὶ δὲ τῆς πέμπτης ἀπορίας θεωρητέον ἂν εἴη κατὰ τὰ προειρημένα, ὅτι, ὡς εἴρηται, τὸ ὑπεράγιον τοῦ Κυρίου σῶμα κατ' οὐσίαν ἐστὶν ἐν τῷ μυστηρίῳ τούτῳ ἐκ τῆς τοῦ μυστηρίου δυνάμεως, αἱ δὲ διαστάσεις τοῦ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

σώματος διὰ τὴν φυσικὴν ἕνωσιν, ἣν ἔχουσι πρὸς τὴν οὐσίαν, ἐνταῦθα εἰσίν, ἐναντίως τῷ καθό ἐστι τὸ φυσικὸν σῶμα ἐν τόπῳ. Τὸ μὲν γὰρ φυσικὸν σῶμα ἐν τόπῳ ἐστί, τῶν διαστάσεων μεσιτευουσῶν, αἷς συμμετρεῖται τῷ τόπῳ. Ἕτερον δὲ τρόπον τὸ οὐσιῶδές ἐστιν ἐν ᾧ ἐστιν, καὶ ἕτερον τρόπον, τὸ ποσόν· τὸ μὲν γὰρ ποσὸν οὕτως ἐστὶν ὅλον ἐν ὅλῳ τινί, ὥστε τὸ ὅλον μὴ εἶναι ἐν τῷ μέρει, ἀλλὰ μέρος ἐν μέρει, ὥσπερ τὸ ὅλον ἐν τῷ ὅλῳ· ὅθεν καὶ τὸ φυσικὸν σῶμα οὕτως ἐστὶν ὅλον ἐν ὅλῳ τῷ τόπῳ, ὥστε τὸ ὅλον μὴ εἶναι ἐν ἑκάστῳ μέρει τοῦ τόπου, ἀλλὰ τὰ μέρη τοῦ σώματος τοῖς τοῦ τόπου μέρεσιν ἐφαρμόζεσθαι· μεσιτευουσῶν γὰρ τῶν διαστάσεων ἐν τόπῳ ἐστίν. Εἰ δέ τι οὐσιῶδες εἴη ὅλον ἐν ὅλῳ, καὶ τὸ ὅλον ἐστὶν ἐν ἑκάστῳ μέρει αὐτοῦ, ὥσπερ ὅλη ἡ φύσις τοῦ ὕδατος, ἐν ἑκάστῳ μέρει τοῦ ὕδατός ἐστι, καὶ ὅλη ἡ ψυχὴ ἐν ἑκάστῳ μέρει τοῦ σώματος. Ἐπεὶ τοίνυν τὸ σῶμα τοῦ Χριστοῦ ἐστιν ἐν τούτῳ τῷ μυστηρίῳ κατὰ τὸν τῆς ἰδίας οὐσίας λόγον, εἰς ἣν μεταβέβληται ἡ τοῦ ἄρτου οὐσία, μενουσῶν τῶν αὐτοῦ διαστάσεων, |ὥσπερ ὅλον τὸ εἶδος τοῦ ἄρτου ἦν ἐν ἑκάστῳ μέρει τῶν αὐτοῦ διαστάσεων, οὕτως καὶ ἐν ἑκάστῳ μέρει αὐτῶν ἀκέραιον τὸ τοῦ Χριστοῦ σῶμά ἐστιν. Οὐκ ἄρα ἡ κλάσις ἐκείνη ἢ ἡ διαίρεσις ἅπτεται τοῦ σώματος τοῦ Χριστοῦ, ὥστε καὶ ἐν τῷ ὑποκειμένῳ εἶναι ἐκείνῳ, ἀλλ' ὑποκείμενον ἐκείνης ἐστὶν αἱ μείνασαι διαστάσεις τοῦ ἄρτου τε καὶ τοῦ οἴνου, ὥσπερ καὶ τῶν ἄλλων συμβεβηκότων τῶν αὐτόθι μεινάντων ἐκείνας εἶναι φαμὲν ὑποκείμενον.

## LXVIII-LXIX.

Ἐντεῦθεν δῆλον, ὡς οὐδὲν ἀδύνατον περιέχει τὸ μυστήριον τῷ πάντα δυναμένῳ Θεῷ, καὶ ὁ τοῦ Χριστοῦ λόγος ἐκεῖνος οὐδὲν ὑπεναντίον ἔχει τῇ ἐκκλησιαστικῇ παραδόσει, ᾧ τὸ σκάνδαλον τῶν μαθητῶν ἔλυεν· οὐ γὰρ δίδοται διὰ τοῦ λόγου νοεῖν, ὅτι ἡ ἀληθὴς αὐτοῦ σὰρξ οὐκ ὀφείλει δίδοσθαι τοῖς πιστοῖς εἰς βρῶσιν, ἀλλ' ὅτι οὐ κατὰ τὰς ἄλλας σωματικὰς
f. 181v τροφὰς παραδίδοται, ὥστε καταχερματιζομένην δηλονότι ἐν τῷ | αὐτῆς εἴδει λαμβάνεσθαι, ἀλλά τινα τρόπον ἴδιον παρὰ τὸ ἔθος τῶν σωματικῶν βρωμάτων.

Παρατηρητέον δέ, ὅτι τὸ μυστήριον ὀφείλει γίνεσθαι, κατὰ τὴν παράδοσιν, ἐξ ἀληθινοῦ ἄρτου, ὅς ἐστιν ὁ ἐκ σπέρματος σίτου κατασκευαζόμενος, καὶ ἀληθινοῦ οἴνου, ὅς ἐστι τὸ ἐκθλιβόμενον ἐκ σταφυλῶν ὑγρόν· οἱ δὲ ἄλλοι λεγόμενοι ἄρτοι οὐ κυρίως εἰσίν, ἀλλὰ τῇ στερήσει τῶν ἀληθῶν εἰς χρῆσιν ἔρχονται, ἀμυδρῶς ἀναπληροῦντες ἐκεῖνα, ἐξ ὧν οὐχ οἷόν τε ἱερουργεῖσθαι τὸ μυστήριον τοῦτο. Τὸ δὲ εἶναι ἔνζυμον ἢ ἄζυμον οὐκ ἔστιν ἐκ τοῦ λόγου τοῦ ἄρτου, ἀλλ' ὁ τοῦ ἄρτου λόγος ἐν ἀμφοῖν σῴζεται,

---

16 *ἀκέραιον* **deux fois répété dans A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

καὶ διὰ τοῦτο ἐξ ἑκατέρου τὸ μυστήριον δύναται γίνεσθαι. Ὅθεν καὶ διάφορον ἔθος ἐν ταῖς ἐκκλησίαις περὶ τοῦτο κεκράτηκεν, καὶ οὐδὲν διαφέρει· ὅθεν καὶ ὁ Γρηγόριος ὁ Διάλογος λέγει· „Ἡ τῶν Ῥωμαίων ἐκκλησία ἄρτους ἀζύμους προφέρει διὰ τὸ τὸν Κύριον ἄνευ μίξεως σάρκα ἀναλαβεῖν· αἱ δὲ ἄλλαι ἐκκλησίαι ζυμωτοὺς προσφέρουσιν ἄρτους διὰ τὸ τὸν Πατρὸς Λόγον σάρκα ἐνδύντα καὶ Θεὸν ἀληθῆ εἶναι καὶ ἄνθρωπον ἀληθῆ· διὰ τοῦτο ἡ ζύμη μίγνυται τῷ ἀλεύρῳ“.

## LXX. — Ὅτι μετὰ τὸ λαβεῖν τὴν μυστηριώδη χάριν οἱ ἄνθρωποι δύνανται πάλιν ἁμαρτάνειν.

Ἀλλ' εἰ καὶ διὰ τῶν προειρημένων μυστηρίων χάρις δίδοται τοῖς ἀνθρώποις, ἀλλ' οὐ δι' αὐτὴν ἀναμάρτητοι γίνονται· τὰ γὰρ τῆς χάριτος δῶρα ὡς διαθέσεις ἢ ἕξεις ἐγγίνονται τῇ ψυχῇ· οὐ γὰρ ἀεὶ κατὰ ταῦτα ὁ ἄνθρωπος ἐνεργεῖ, οὐδὲν δὲ κωλύει τὸν ἔχοντα τινὸς ἕξιν ἢ κατ' αὐτὴν ἐνεργεῖν, ἢ ἐναντίως αὐτῇ, ἤγουν τὸν γραμματικὸν ὀρθῶς ὁμιλεῖν, ἢ μὴ ὀρθῶς, καὶ τὸν ἔχοντα ἕξιν δικαιοσύνης ἐνεργεῖν τι καὶ παρ' αὐτήν· αἴτιον δέ, τὸ τὰς χρήσεις ἐν ἡμῖν τῶν ἕξεων ἐκ τῆς βουλήσεως εἶναι, αὐτὴν δὲ πρὸς ἑκάτερον τῶν ἐναντίων ὑπάρχειν.

Ἔτι, τὰ μυστήρια καὶ ἡ δι' αὐτῶν χάρις βοήθειά εἰσι τῷ ἀνθρώπῳ τῷ ὁδοιπόρῳ· ἡ δὲ ἀναμαρτησία, τῷ ἀμεταβλήτῳ τῆς βουλήσεως ἑπομένη, τοῖς ἁψαμένοις τοῦ ἐσχάτου τέλους μόνοις ἁρμόζει.

Ἔτι, οὐδὲ διὰ τῶν μυστηρίων γίνεται ὁ ἄνθρωπος πάσης ἀγνοίας καὶ πλάνης ἀνεπηρέαστος· τοῦτο γάρ ἐστι τοῦ τὴν ἀλήθειαν θεωροῦντος, ἥ πάσης ἀληθείας ἐστὶν ἀρχή· τὸ δὲ ὁρᾶν ἐκείνην ἔσχατον τέλος τοῦ ἀνθρώπου ἐστίν.

Ἔτι, μάταιον ἂν ἦν νουθετεῖν τοὺς μὴ δυναμένους λοιπὸν ἁμαρτάνειν· ἀλλ' ἐν τῇ πρὸς Ἐφεσίους λέγεται· „Μὴ λυπεῖτε τὸ Πνεῦμα ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε“· καὶ αὐτὸς ὁ Ἀπόστολός φησι περὶ ἑαυτοῦ· „Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγαγῶ, μήπως | ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος f. 182
γένωμαι“. Οὐκ ἄρα διὰ τῆς ἐν τοῖς μυστηρίοις χάριτος ἀναμάρτητοι ἀποτελοῦνται οἱ ἄνθρωποι. Τὸ δὲ ἐν τῇ πρὸς Κορινθίους· „Ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει“, δηλοῖ ὅτι τῶν ἄλλων χαρισμάτων ὡς ἀτελεστέρων καταργουμένων ἐνταῦθα, ἡ ἀγάπη, τῇ ἕξει τῆς τελειότητος πρέπουσα, ἀεὶ διαμενεῖ. Τὸ δὲ ἐν τῷ Ἰωάννῃ· „Πᾶς ὁ ὢν ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, οὐ γὰρ δύναται ἁμαρτεῖν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται“, δηλοῖ, ὅτι ὅσον τὸ ἀπὸ τῶν χαρισμάτων, οἷς ἀναγεννᾶται ὁ ἄνθρωπος εἰς υἱοθεσίαν θείαν ἐρχόμενος, δύναμιν ἔχει τοῦ ἄνευ ἁμαρτίας τηρεῖσθαι, καὶ οὐ δύναται ὁ κατὰ ταῦτα ζῶν ἁμαρτεῖν· δύναται μέντοι τούτων ἀφισ-

---

27 Eph. 4, 30 28 I Cor. 9, 27 31 I Cor. 13, 8 34 I Ioh. 3, 6

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τάμενός τις ἁμαρτάνειν, ὥσπερ ἂν εἰ ἐλέγετο ὅτι ἡ θέρμη οὐ δύναται ψυχθῆναι· τὸ μέντοι θερμὸν γίνεσθαι δύναται ψυχρόν, καὶ οὕτω ψύχειν· ἢ ὅτι ὁ δίκαιος οὐ δύναται ἄδικα ποιεῖν, δηλονότι, καθόσον ἐστὶν δίκαιος.

## LXXI. — Ὅτι μετὰ τὴν μυστηριώδη χάριν ὁ ἄνθρωπος ἁμαρτὼν δύναται πάλιν ἐπαναστραφῆναι διὰ τῆς χάριτος.

Ὡς γὰρ εἴρηται, μέχρις ἂν ἐνταῦθα ζῶμεν, μεταβάλλεσθαι πέφυκεν ἡ βούλησις εἰς ἀρετὴν καὶ εἰς πάθη. Ὥσπερ οὖν μετὰ τὴν χάριν δύναται ἁμαρτάνειν, οὕτω δύναται καὶ ἀπὸ τῆς ἁμαρτίας ἐπανιέναι, καὶ εἰ ἡ τοῦ ἀνθρώπου βούλησις διὰ ἁμαρτίας, ἀποπίπτει τῆς χάριτος, πολλῷ μᾶλλον διὰ τῆς χάριτος δύναται τῆς ἁμαρτίας ἀνακληθῆναι. Λέγεται γὰρ ἐν τῷ δευτέρῳ τῆς Ἰωάννου πρώτης· „Τεκνία μου, τοῦτο γράφω ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε· εἰ δέ τις ἁμάρτοι, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα, Ἰησοῦν Χριστόν, δίκαιον· καὶ αὐτὸς ἱλασμός ἐστιν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν“· καὶ ἐν τῷ τρίτῳ τοῦ Ἱερεμίου· „Σὺ ἐπόρνευσας μετὰ ἐραστῶν πολλῶν· ἐπίστρεψον πρός με, λέγει Κύριος“· καὶ ἐν τῷ ἐσχάτῳ τῶν Θρήνων· „Ἐπίστρεψον ἡμᾶς πρὸς σέ, Κύριε, καὶ ἐπιστραφησόμεθα, καὶ ἀνακαίνισον τὰς ἡμέρας ἡμῶν ἀπ᾽ ἀρχῆς“.

Ἐντεῦθεν καὶ ἡ τῶν Ναυατιανῶν ἀπελαύνεται αἵρεσις, οἳ τοῖς μετὰ τὸ βάπτισμα ἁμαρτοῦσιν ἀπέκλειον τὴν συγγνώμην, ἀφορμὴν ποιούμενοι τὸ ἐν ἕκτῳ τῆς πρὸς Ἑβραίους λεγόμενον, ὅτι „Ἀδύνατον τοὺς ἅπαξ φωτισθέντας καὶ γευσαμένους χάριτος οὐρανίου, καὶ μετόχους γενομένους ἁγίου Πνεύματος, γευσαμένους τε καλὸν Θεοῦ ῥῆμα δυνάμεις τε τοῦ μέλλον-
f. 182v τος αἰῶνος καὶ παρα|πεσόντας, ἀνακαινίζειν πάλιν εἰς μετάνοιαν“. Ἀλλ᾽ ἡ διάνοια δηλοῦται τοῦ Ἀποστόλου ἐκεῖ ἐκ τῶν ἐπαγομένων· „Ἀνασταυροῦντας ἑαυτοῖς, φησί, τὸν Υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας“. Ἐκείνην τοίνυν τὴν πρὸς μετάνοιαν ὁδὸν τοῖς ἀνθρώποις ἀπαγορεύει, δι᾽ ἧς ὁ ἄνθρωπος τῷ Χριστῷ συσταυροῦται, ἥτις ἐστὶν ἡ διὰ τοῦ βαπτίσματος, ὡς ἐν τῇ πρὸς Ῥωμαίους· „Ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν“. Οὐ δεῖ οὖν, φησί, τοὺς μετὰ τὸ βάπτισμα ἁμαρτόντας ἀναβαπτίζειν· δυνατὸν μέντοι ἐπιστρέφειν εἰς τὴν χάριν διὰ μετανοίας. Ὅτι δὲ τὸ ἀνακαινίζειν τὸ ἀναβαπτίζειν βούλεται, δῆλον ἐξ ὧν ἐν τῇ πρὸς Τίτον λέγει· „Διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινίσεως Πνεύματος ἁγίου“.

---

**14** I Ioh. 2, 1-2 **17** Ier. 3, 1 **19** Thren. 5, 21 **23** Heb. 6, 4-6 **27** Heb. 6, 6 **31** Rom. 6, 3 **35** Tit. 3, 5

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006